## 162. THE ABOMINATION OF DESOLATION (Matt-Lk Identicals)

| Matt 24:15-38 | Luke 21:20-24 |
|---|---|
| Ὅταν οὖν ἴδητε | Ὅταν δὲ ἴδητε |
| τὸ βδέλυγμα τῆς ἐρημώσεως | κυκλουμένην ὑπὸ στρατοπέδων |
| τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου | |
| ἑστὸς ἐν τόπῳ ἁγίῳ, | Ἰερουσαλήμ, |
| ὁ ἀναγινώσκων νοείτω, | |
| | τότε γνῶτε ὅτι ἤγγικεν ἡ ἐρήμωσις αὐτῆς. |
| 16 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ | 21 τότε οἱ ἐν τῇ Ἰουδαίᾳ |
| φευγέτωσαν εἰς τὰ ὄρη, | φευγέτωσαν εἰς τὰ ὄρη, |
| 17 ὁ ἐπὶ τοῦ δώματος | καὶ οἱ ἐν μέσῳ αὐτῆς |
| μὴ καταβάτω | ἐκχωρείτωσαν, |
| ἆραι | |
| τὰ ἐκ τῆς οἰκίας αὐτοῦ, | |
| 18 καὶ ὁ ἐν τῷ ἀγρῷ | καὶ οἱ ἐν ταῖς χώραις |
| μὴ ἐπιστρεψάτω ὀπίσω | μὴ εἰσερχέσθωσαν εἰς αὐτήν, |
| ἆραι τὸ ἱμάτιον αὐτοῦ. | |
| | 22 ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσιν τοῦ πλησθῆναι πάντα τὰ γεγραμμένα. |
| 19 οὐαὶ δὲ | 23 οὐαὶ |
| ταῖς ἐν γαστρὶ ἐχούσαις | ταῖς ἐν γαστρὶ ἐχούσαις |
| καὶ ταῖς θηλαζούσαις | καὶ ταῖς θηλαζούσαις |
| ἐν ἐκείναις ταῖς ἡμέραις. | ἐν ἐκείναις ταῖς ἡμέραις· |
| 20 προσεύχεσθε δὲ | |
| ἵνα μὴ γένηται ἡ φυγὴ ὑμῶν | |
| χειμῶνος μηδὲ σαββάτῳ· | |
| 21 ἔσται γὰρ | ἔσται γὰρ |
| τότε θλῖψις μεγάλη | ἀνάγκη μεγάλη ἐπὶ τῆς γῆς |
| | καὶ ὀργὴ τῷ λαῷ τούτῳ, |
| οἵα οὐ γέγονεν | |
| ἀπ ἀρχῆς κόσμου | |
| | |
| ἕως τοῦ νῦν | |
| οὐδ οὐ μὴ γένηται. | |
| 22 καὶ εἰ μὴ ἐκολοβώθησαν | |
| αἱ ἡμέραι ἐκεῖναι, | |
| οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· | |
| διὰ δὲ τοὺς ἐκλεκτοὺς | |

*κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι.*

*23 τότε ἐάν τις ὑμῖν εἴπῃ,*
*Ἰδοὺ ὧδε ὁ Χριστός, ἤ, Ὧδε,*
*μὴ πιστεύσητε·*
*24 ἐγερθήσονται γὰρ ψευδόχριστοι*
*καὶ ψευδοπροφῆται,*
*καὶ δώσουσιν σημεῖα μεγάλα*
*καὶ τέρατα*
*ὥστε πλανῆσαι,*
*εἰ δυνατόν, καὶ τοὺς ἐκλεκτούς·*

*25 ἰδοὺ προείρηκα ὑμῖν.*
*26 ἐὰν οὖν εἴπωσιν ὑμῖν,*
*Ἰδοὺ ἐν τῇ ἐρήμῳ ἐστίν,*
*μὴ ἐξέλθητε·*
*Ἰδοὺ ἐν τοῖς ταμείοις,*
*μὴ πιστεύσητε·*
*27 ὥσπερ γὰρ ἡ ἀστραπὴ*
*ἐξέρχεται ἀπὸ ἀνατολῶν*
*καὶ φαίνεται ἕως δυσμῶν,*
*οὕτως ἔσται ἡ παρουσία*
*τοῦ υἱοῦ τοῦ ἀνθρώπου.*
*28 ὅπου ἐὰν ᾖ τὸ πτῶμα,*
*ἐκεῖ συναχθήσονται οἱ ἀετοί*

*24 καὶ πεσοῦνται στόματι*
*μαχαίρης καὶ αἰχμαλωτισθήσονται*
*εἰς τὰ ἔθνη πάντα, καὶ Ἰερουσαλὴμ*
*ἔσται πατουμένη ὑπὸ ἐθνῶν, ἄχρι*
*οὗ πληρωθῶσιν καιροὶ ἐθνῶν.*

272 total words with 52 identicals = 19%